πασιν ομως, κεφαλαι δε εκαστω πεντηκοντα
εξ ωμων επεφυκον επι στοιβαροισι μελεσσιν.
Οι τοτε Τιτηνεσσι κατεσταθεν εν δαϊ λυγρη
πετρας ηλιβατους στιβαρης εν χερσιν εχοντες.
Τιτηνες δ ετερωθεν εκαρτυναντο φαλαγγας
προφρονεως, χειρων τε βιης θ αμα εργον εφαινον
αμφοτεροι· δεινον δε περιαχε ποντος απειρων,
γη δε μεγ εσμαραγησεν, επεστενε δ ουρανος ευρυς
σειομενος, πεδοθεν δε τινασσετο μακρος Ολυμπος
ριπη υπ αθανατων, ενοσις δ ικανε βαρεια
Ταρταρον ηεροεντα, ποδων τ αιπεια ιωη
ασπετου ιωχμοιο βολαων τε κρατεραων·
ως αρ επ αλληλοις ιεσαν βελεα στονοεντα·
φωνη δ αμφοτερων ικετ ουρανον αστεροεντα
κεκλομενων· οι δε ξυνισαν μεγαλω αλαλητω.

*

......αμυδις δ αρ απ ουρανου ηδ απ Ολυμπου
αστραπτων εστειλε συνωχαδον· οι δε κεραυνοι
ικταρ αμα βροντη τε και αστεροπη ποτεοντο
χειρος απο στιβαρης, ιερην φλογα ειλυφοωντες
ταρφεες· αμφι δε γαια φερεσβιος εσμαραγιζε
καιομενη, λακε δ αμφι πυρι μεγαλ ασπετος υλη.
Εζεε δε χθων πασα και Ωκεανοιο ρεεθρα
ποντος τ ατρυγετος· του δ αμφεπε θερμος αϋτμη
Τιτηνας χθονιους, φλοξ δ αιθερα διαν ικανεν
ασπετος, οσσε δ αμερδε και ιφθιμων περ εοντων
αυγη μαρμαιρουσα κεραυνου τε στεροπης τε.
Καυμα δε θεσπεσιον κατεχεν Χαος· εισατο δ αντα
οφθαλμοισι ιδειν ηδ ουασι οσσαν ακουσαι
αυτως, ως ει Γαια και Ουρανος ευρυς υπερθε
πιλνατο, τοιος γαρ κε μεγας υπο δουπος ορωρει
της μεν ερειπομενης, του δ υψοθεν εξεριποντος·
τοσος δουπος εγινεν θεων εριδι ξυνιοντων.
Συν δ ανεμοι ενοσιν τε κονιην τ εσφαραγιζον
βροντην τε στεροπην τε και αιθαλοεντα κεραυνον,
κηλα Διος μεγαλοιο, φερον δ ιαχην τ ενοπην τε
ες μεσον αμφοτερων· οτοβος δ απλητος ορωρει
σμερδαλεης εριδος, καρτος δ ανεφαινετο εργων.

(Θεογονια 666—86, 689—710).

**Απολλωνιος Ροδιος, Α 496—511**

Ηειδεν δ ως γαια και ουρανος ηδε θαλασσα,
το πριν επ αλληλοισι μιη συναρηροτα μορφη,
νεικεος εξ ολοοιο διεκριθεν αμφις εκαστα·
ηδ ως εμπεδον αιεν εν αιθερι τεκμαρ εχουσιν
αστρα σεληναιη τε και ηελιοιο κελευθοι·
ουρεα θ ως ανετειλε, και ως ποταμοι κελαδοντες
αυτησιν νυμφησι και ερπετα παντ εγενοντο.

ηειδεν δ ως πρωτον Οφιων Ευρυνομη τε
Ωκεανις νιφοεντος εχον κρατος Ουλυμποιο·
ως τε βιη και χερσιν ο μεν Κρονῳ εικαθε τιμης,
η δε Ρεη, επεσον δ ενι κυμασιν Ωκεανοιο·
οι δε τεως μακαρεσσι θεοις Τιτησιν ανασσον,
οφρα Ζευς ετι κουρος, ετι φρεσι νηπια ειδως,
Δικταιον ναιεσκεν υπο σπεος· οι δε μιν ουπω
γηγενεες Κυκλωπες εκαρτυναντο κεραυνῳ,
βροντη τε στεροπη τε· τα γαρ Διι κυδος οπαζει.

**Ψαλμος 42**

Κρινον μοι, ο Θεος, και δικασον την δικην μου εξ εθνους ουχ οσιου· απο ανθρωπου αδικου και δολιου ρυσαι με. 2 οτι συ ει ο Θεος κραταιωμα μου· ινατι απωσω με; και ινατι σκυθρωπαζων πορευομαι εν τω εκθλιβειν τον εχθρον μου; 3 εξαποστειλον το φως σου και την αληθειαν σου· αυτα με ωδηγησαν και ηγαγον με εις ορος αγιον σου και εις τα σκηνωματα σου. 4 και εισελευσομαι προς το θυσιαστηριον του Θεου, προς τον Θεον τον ευφραινοντα την νεοτητα μου· εξομολογησομαι σοι εν κιθαρᾳ, ο Θεος ο Θεος μου. 5 ινατι περιλυπος ει, η ψυχη μου, και ινατι συνταρασσεις με; ελπισον επι τον Θεον, οτι εξομολογησομαι αυτῳ· σωτηριον του προσωπου μου και ο Θεος μου.

**Πεντηκοσταριον**

Ω θειας! ω φιλης! ω γλυκυτατης σου φωνης! μεθ ημων αψευδως γαρ, επηγγειλω εσεσθαι, μεχρι τερματων αιωνος Χριστε· ην οι πιστοι, αγκυραν ελπιδος, κατεχοντες αγαλλομεθα.

*

Ευφραινου, αγαλλου, η θεια πυλη του φωτος· ο γαρ δυνας εν ταφῳ, Ιησους ανετειλε, λαμψας ηλιου φαιδροτερον, και τους πιστους παντας καταυγασας, θεοχαριτωτε Δεσποινα.

*

Ως κυματα θαλασσης επ εμε επανεστησαν αι ανομιαι μου· ως σκαφος εν πελαγει εγω μονος χειμαζομαι, υπο πταισματων πολλων· αλλ εις ευδιον λιμενα οδηγησον με, Κυριε, τη μετανοια και σωσον με.

*

Σε τον περιβαλλοντα τον ουρανον εν νεφελαις εχοντες οι Αγιοι περιβολην εν τῳ κοσμῳ, τας βασανους των ανομων υπεμειναν, και την πλανην των ειδωλων κατηργησαν. Αυτων ταις ικεσιαις, και ημας ελευθερωσον του αορατου εχθρου, Σωτηρ, και σωσον ημας.

*

Ευφραινεσθω τα ουρανια, αγαλλιασθω τα επιγεια, οτι εποιησε κρατος εν βραχιονι αυτου, ο Κυριος· επατησε τῳ θανατῳ τον θανατον· πρωτοτοκος των νεκρων εγενετο· εκ κοιλιας Αδου ερρυσατο ημας, και παρεσχε τω κοσμω το μεγα ελεος.